*ἄλλαι δὲ θύρσους ἵεσαν δι᾽ αἰθέρος*
*Πενθέως, στόχον δύστηνον· ἀλλ᾽ οὐκ ἤνυτον.*
*κρεῖσσον γὰρ ὕψος τῆς προθυμίας ἔχων*
*καθῆσθ᾽ ὁ τλήμων, ἀπορίᾳ λελημμένος.*
*τέλος δὲ δρυΐνους συγκεραυνοῦσαι κλάδους*
*ῥίζας ἀνεσπάρασσον ἀσιδήροις μοχλοῖς*
*βάκχαι τὰ Πενθέως* ⟨. . . . . . . . . . . . . .⟩
*ἐπεὶ δὲ μόχθων τέρματ᾽ οὐκ ἐξήνυτον,*
*ἔλεξ᾽ Ἀγαύη· Φέρε, περιστᾶσαι κύκλῳ*
*πτόρθου λάβεσθε, μαινάδες, τὸν ἀμβάτην*
*θῆρ᾽ ὡς ἕλωμεν, μηδ᾽ ἀπαγγείλῃ θεοῦ*
*χοροὺς κρυφαίους. αἳ δὲ μυρίαν χέρα*
*προσέθεσαν ἐλάτῃ κἀξανέσπασαν χθονός·*
*ὑψοῦ δὲ θάσσων ὑψόθεν χαμαιριφὴς*
*πίπτει πρὸς οὖδας μυρίοις οἰμώγμασιν*
*Πενθεύς· κακοῦ δ᾽ ἄρ᾽ ἐγγὺς ὢν ἐμάνθανεν.*
*πρώτη δὲ μήτηρ ἦρξεν ἱερέα φόνου*
*καὶ προσπίτνει νιν· ὁ δὲ μίτραν κόμης ἄπο*
*ἔρριψεν, ὥς νιν γνωρίσασα μὴ κτάνοι*
*τλήμων Ἀγαύη, καὶ λέγει, παρηίδος*
*ψαύων· Ἐγώ τοι, μῆτερ, εἰμί, παῖς σέθεν*
*Πενθεύς, ὃν ἔτεκες ἐν δόμοις Ἐχίονος·*
*οἴκτιρε δ᾽, ὦ μῆτέρ, με, μηδὲ ταῖς ἐμαῖς*
*ἁμαρτίαισι παῖδα σὸν κατακτάνῃς.*
*ἣ δ᾽ ἀφρὸν ἐξιεῖσα καὶ διαστρόφους*
*κόρας ἑλίσσουσ᾽, οὐ φρονοῦσ᾽ ἃ χρὴ φρονεῖν,*
*ἐκ Βακχίου κατείχετ᾽, οὐδ᾽ ἔπειθέ νιν.*